# In Gregorii Nazianzeni sententias

## Τοῦ σοφωτάτου μεγάλου λογοθέτου κυροῦ Γεωργίου τοῦ Ἀκροπολίτου ἑρμηνεία τῶν θεολογικῶν ῥητῶν τοῦ τε «ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ γίνεσθαι» καὶ τοῦ «μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη.»

1 Πολλοὶ μὲν καὶ ἄλλοι τῶν φίλων, ὦ θειότατε καὶ σεβασμιώτατέ μοι κεφαλή, εἰς λόγους ἐλθεῖν ἡμᾶς κατηνάγκασαν καὶ τὸ περὶ φιλοσοφίαν φιλότιμον παρ' ἑαυτοῖς ἐπιδείξασθαι, κἀντεῦθεν καὶ λόγους παῖδας ἡμεῖς εἰς φῶς προηγάγομεν. ἀλλ' ἐν ἐκείνοις μὲν λόγοις καὶ μόνον φιλίας συνδούμενοι καὶ τὸν φίλιον εὐλαβούμενοι ἀπεπληροῦμεν τὰ κελευόμενα· ὅπου δὲ πατρικὴ σχέσις καὶ ὑπερκειμένη τῶν ἄλλων στοργή, πῶς οὐκ ἂν εὐπειθέστεροι περὶ τὰ προσταττόμενα διατεθείημεν; ἀμέλει τοι τῷ σῷ χειραγωγούμενοι πνεύματι, μᾶλλον δὲ τῷ κοινῷ τε καὶ θείῳ, ἐξ οὗ πᾶσα γνῶσις ἀληθινὴ πρὸς τοὺς ἀληθείας ἐπιφεφοίτηκεν ἐραστάς, ὡς ἐξὸν τεθαρρηκότες περὶ τοὺς λόγους χωροῦμεν καὶ τὰς λύσεις τὰς ἁρμοττούσας τοῖς τοῦ θεολόγου Γρηγορίου ῥητοῖς, καθὼς αὐτός περ ἠξίωσας, σαφηνίσαι σοι βεβουλήμεθα.

2 Δύο δὲ τὰ ἀπορήματα τυγχάνει ἐπὶ δυσὶ δὲ ῥητοῖς, τῷ τε φάσκοντι «μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη» καὶ τῷ λέγοντι «ἔστι μὲν ὅπου καὶ τὸ ἓν στασιάζον καθ' ἑαυτὸ πολλὰ γίνεσθαι». ἀλλὰ τὸ μὲν προσρημένον ἀπόρημα ὀλίγης τινὸς παραμυθίας δεόμενον, ὡς προϊόντες ἐροῦμεν, διὰ μικρῶν σαφηνίσομεν· τὸ δ' ἄλλο πολλῆς τινος καὶ ποικίλης καὶ ὑψηλοτέρας ὡς οἶμαι δεῖται τῆς σαφηνείας. περὶ τούτων καὶ γὰρ ἐν μείραξιν ἔτι τελῶν καὶ τῷ θεσπεσίῳ ἐκείνῳ ἀνδρὶ τῷ φιλοσοφωτάτῳ Βλεμμύδῃ, ἡνίκα παρ' αὐτῷ ἐφοίτων, ἐκοινολογησάμην, ἀλλ' οὐδέν τι μοι εἶχεν εἰρηκέναι σαφῶς· ἀλλ' ἅπερ καὶ ἄλλοι τὰ τοῦ πατρὸς ἐξηγούμενοι–λέγω δὲ τὸν μέγαν ἐν τοῖς λόγοις Μάξιμον καὶ τοὺς μετ' αὐτὸν–εἰς πλάτος ἢ καὶ κατὰ σχολὴν διασαφοῦντες εἰρήκεσαν, ἐκεῖνά μοι καὶ αὐτὸς πρὸς τὴν ἀπορίαν ἐφθέγγετο. ἀλλ' ἐπείπερ αὐτὸς τῶν τῆς φιλοσοφίας ἡψάμην ὀργίων τῷ τε θειοτάτῳ συνῆλθον Πλάτωνι καὶ τῷ μουσολήπτῳ Πρόκλῳ, ἔτι τε μὴν τοῖς ἐνθεαστικωτάτοις ἀνδράσιν Ἰαμβλίχῳ τε καὶ Πλωτίνῳ καὶ τοῖς λοιποῖς, οὓς οὐ καιρὸς καταλέγειν, ἐποδηγήθην πρὸς τὴν διάγνωσιν τοῦ ῥητοῦ. ἀμέλει τοι καὶ σαφηνίσαι τοῦτο προήχθην ταῖς σαῖς θαρρήσας εὐχαῖς, σὺ δὲ ἵλεως ἡμῖν εἴης ὑπὲρ τὰ ἐσκεμμένα τετολμηκόσι πηδᾶν, οἵπερ τὸ τῆς ζωῆς πλοῖον ἐν πολιτικοῖς ἔχοντες πράγμασιν ἀπηναιδευμένως οὕτω περὶ τὰ θεῖα φερόμεθα καὶ τὰ ὑπὲρ ἡμᾶς ἐξετάζειν ἐθέλομεν, ἃ μόνοις ἐφεῖται τοῖς ὑπὲρ τὴν ὕλην γεγενημένοις καὶ ὑπερανῳκισμένοις τῶν ἡδονῶν. ἀλλ' ἡμεῖς μὲν οὐχ οὕτως· ἀλλὰ μόνον ὑπακοῇ χρώμενοι πληροῦμεν τὰ ἐντελλόμενα.

3 Ἤδη οὖν ἀρκτέον τῆς τῶν ῥητῶν σαφηνείας καὶ πρῶτον μὲν τοῦ λέγοντος «ἡ μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη». δόξειε μὲν ἄν τισιν οὐκ εὔλογα λέγειν τὸν τὰ τοιαῦτα θεολογοῦντα, πρῶτον μὲν ἐν οἷς φησι τὴν μονάδα εἰς δυάδα κινηθῆναι. καὶ γὰρ εὐχερῶς ἄν τις αὐτὸν ἔροιτο· «πότερον ἄρα φῄς, ὡς ἦν ἐν στάσει πρότερον ἡ μονάς, εἶτα δῆτα κινητικήν τινα προσλαβοῦσα δύναμιν ἐναντίαν τῇ πρώτῃ οἷον εἰπεῖν στατικὴν οὕτω τῆς κινήσεως κεκίνηται εἰς δυάδα κἆτα δὴ εἰς τριάδα, κἀντεῦθεν ἑτέραν προσειληφυῖα δύναμιν ἔστη, ἢ οὖσα μονὰς κινουμένη διηνεκῶς εἰς δυάδα καὶ μέχρι τριάδος βαδίζουσα, ὡς μεταιχμίου τινὸς ἐν δυάδι τυγχάνοντος, τὴν στάσιν εὕρηκεν ἐν αὐτῇ, τῆς μὲν μονάδος ἐχούσης τὴν κινητικήν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς δὲ τριάδος ἵν' εἴπω τὴν στατικήν; ἀλλὰ καὶ ἐν ἀμφοῖν τοῖν λόγοιν ἄτοπα ἄττα ἀκολουθεῖ. εἰ μὲν γὰρ ἔστι τις ἀρχὴ τῆς μοναδικῆς κινήσεως, ἔσχε τὸ θεῖον ἀρχήν, ἀλλὰ καὶ πάθος, τὴν κίνησιν, εὕρηκε καὶ ἀκούσιον ἔσχηκε στάσιν, καὶ ὡς ἐπὶ δράματος ἡμῖν ἀνεφάνη θεός, ἀρχὴν λαβὼν καὶ πάθους μετασχὼν καὶ τῆς πρόσω φορᾶς ἀκουσίως ἱστάμενος. οὗ τί ἂν εἴη γελοιωδέστερον; εἰ δὲ ἀπείρως τῆς μονάδος κινουμένης ἔξωθεν ἐπῆλθέ τις δύναμις, ἀναχαιτίζουσα μὲν αὐτὴν τῆς ὁρμῆς, εἰς διαίρεσιν δὲ καὶ ἀριθμὸν ἐπάγουσα καὶ τῆς πρόσω φορᾶς τῆς μοναδικῆς κωλύουσα, καὶ πάλιν ὡς ἐπὶ σκηνῆς εὑρέθη ἄλλος θεός, τοῦ ἐν τῇ μονάδι τῇ ἀπείρως καὶ πρώτως κινουμένῃ θεωρουμένου καὶ οἷον εἰπεῖν μὴ ἱσταμένου τοῦ μοναδικοῦ χύματος ἐναντίος τε ἅμα καὶ ἰσχυρότερος. ἀλλὰ καὶ τοῦτο δὴ ἀτοπώτατον δύο πρώτους καὶ ἐναντίους στῆναι θεούς.»

4 Ὅτι μὲν οὖν ἔστι θεὸς παρὰ πᾶσι σχεδὸν ὡμολόγηται, Ἕλλησί φημι καὶ βαρβάροις· Ἐπίκουρος γὰρ ἀποπεμπέσθω τοῦ λόγου καὶ εἴ τις ἕτερος ἄθεος, αὐτόματον δοξάζων καὶ τυχὸν ἢ ἄλλο τι παραλήρημα. ἀλλ' ὅτι μὲν ἔστι θεός, πάντες οἴδασιν· ἀπόδειξιν δὲ τοῦ εἶναι θεὸν οὔτε τις δεδύνηται οὔτ' ἂν δυνηθείη ποιήσασθαι. αἱ γὰρ ἀποδείξεις ἐκ τῶν καθόλου τὰ ἐπὶ μέρους ἀποδεικνύουσι, καθολικώτερον δὲ ὂν τοῦ πρώτου ὄντος οὐκ ἄν τις ἐρεῖ οὐδ' ἀναπλάσειε πώποτε. πάντως γὰρ ἐκεῖνο ἂν εἴη τὸ πρῶτον, ὅπερ ἂν εἴη πρῶτον καὶ μέχρις ὅτου δύναιτο ἂν προβαίνειν· ὅπου γὰρ ἂν σταίη καὶ ἀνυπόθετον θείη, ἐκεῖνο ἂν εὕρῃ τὸ πρώτως ὄν. διὰ ταῦτα ἀπόδειξιν κατασκευάζουσαν, ὅτι ἔστι θεός, οὐ ῥᾷόν ἐστιν ἐφευρεῖν. παραμυθίαν δέ τινα ἐξ ἐπαγωγικῆς οἷον μεθόδου οἱ θεολογήσαντες ἐφεῦρόν τε καὶ παρέδωκαν ἔκ τε τῆς εὐτάκτου τοῦ παντὸς κινήσεως τῆς σφαιρικῆς τε περιπολήσεως τῶν ἐν αὐτῇ καθιδρυμένων ἄστρων, τῶν τε ἰδίαν ἐχόντων κίνησιν καὶ τῶν συμπεριφερομένων τοῦ οὐρανοῦ κύτει, καὶ ἄλλοις τοιούτοις εἰς κατασκευὴν κατεχρήσαντο, οὐχ ἧττον δὲ καὶ τὴν καθ' ἡμᾶς ζωικὴν ἁρμονίαν εἰς λόγους παραλαβόντες. ἀλλ' ἡμεῖς τὰ τοιαῦτα ἀφέντες ἄλλην τινὰ συντομωτέραν ὡς οἶμαι καὶ ἀναγκαστικωτέραν βαδίσαιμεν, καὶ μόνον οὐχὶ γεωμετρικαῖς ἀποδείξεσιν ἀποδείξαιμεν, ὅτι ἔστι θεός.

5 Ἀρκτέον οὖν ὧδε ἀπὸ κοινῶν καὶ ὁμολογουμένων πραγμάτων ἢ νοημάτων τὰ τῆς ἀποδείξεως ποιουμένοις. ἔστι μὲν ἡ οὐσία, καὶ οὐδεὶς ὁρῶν ἀντερεῖ ἢ ὁπωσοῦν αἰσθανόμενος· ἔστι γὰρ καὶ λίθος καὶ ξύλον καὶ ἵππος καὶ ἄνθρωπος ἐν οὐσίᾳ τινὶ συνυπάρχοντα. ἔστιν ἐν ταύτῃ καὶ αἴσθησις, καὶ τοῦτο σύμπας ὁμολογήσειεν· ἅπτεται γὰρ καὶ ὁρᾷ τὸ ζῶον ἀκούει τε καὶ ὀσφραίνεται. ἔστι γοῦν οὐσία, καὶ ἐπὶ ταύτῃ κρείττων δύναμις αἴσθησις. ἔστι καὶ τὸ φανταστικῶς γινώσκειν ἔν τισι τῶν αἰσθανομένων ζώων, δι' οὗ καὶ τὸ χνοειδὲς τὰ τούτου μετέχοντα ὑπεμφαίνουσιν, οἷον ἀράχναι μέλιτται μύρμηκες· ἐντεῦθεν καὶ μνήμη ἐνίοις ἐγγίνεται, ὡς κυσὶ καὶ ἵπποις καὶ ἄλλοις τοιούτοις. ἔστιν οὖν σὺν τοῖς εἰρημένοις, οὐσίᾳ τε καὶ αἰσθήσει, καὶ φανταστικὴ δύναμις, τῶν λελεγμένων κρείττων πολύ. ἀλλ' ἔστιν ἐπὶ πᾶσι τούτοις καὶ βελτίων γνωστικὴ δύναμις, τὴν τῆς νοερᾶς λέγω ψυχῆς, ἣ καὶ λόγον γεννᾷ ἐνδιάθετον καὶ συντίθησι τὸν προφορικὸν καὶ τέχνας ποιεῖ, κρείττων τῶν προλελεγμένων πολλῷ τῷ μέτρῳ τυγχάνουσα· φέρει γὰρ ἐν ἑαυτῇ καὶ τὰς ὑποδεεστέρας δυνάμεις κρειττόνως ἢ ἐν οἷς καὶ μόνον αὗται πεφύκασιν. ἐπεὶ γοῦν ταῦθ' οὕτως ἔχει καὶ ὡμολόγηται, ἀνάγκη πᾶσα καί τι εἶναι τὸ ὑπερκείμενον, 5 ἐξ οὗ καὶ ταῦτα τὰ σύνθετα. εἰ γὰρ οἰκία οὐκ ἂν γένοιτο τεχνίτου χωρὶς ἐκ λίθων καὶ ξύλων καὶ ἀσβέστου συνηρμοσ μένη, ἀλλ' οὔτε ναῦς πηχθείη ἄν ποτε ἄνευ τινὸς ναυπηγοῦ, πῶς ἂν τὰ τῇδε πάντα ὑπερκάλως ἐρρυθμισμένα τοῖς δια φόροις συγκρίμασι συσταίη δημιουργοῦ τινος ἄτερ καὶ ποιητοῦ; ἐπεὶ δὲ ταῦτα ἔσχεν ἀρχὴν χρονικήν, ἀνάγκη ἐκεῖνο ἄχρονον εἶναι· ἐπεὶ δὲ ταῦτα πάσχει φθοράν, ἐκεῖνο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντη γε ἄχρονόν τε καὶ ἄφθαρτον, προληπτικὸν ὂν τῶν μετ' αὐτὸ καὶ παρ' αὐτοῦ γινομένων καὶ προαγωγὸν τῶν δυνάμεων ὧν ταῦτα μετέχει. εἰ γοῦν ἔστιν ἐνταῦθα ὄν, ἔστι τι τὸ προόν· καὶ εἰ ἔστιν αἴσθησις, ἔστι τι προαισθό μενον ἢ μᾶλλον ὑπεραισθόμενον· καὶ εἰ ἔστιν ἐνταῦθα νοῦς, ἔστι τι τὸ προνοοῦν ἢ καὶ ὑπερνοοῦν. διὰ ταῦτα ἔστι θεός· οὕτω γὰρ τὸ πρώτως ὂν παρὰ πᾶσιν ὠνόμασται. ἤδη γοῦν καὶ ἡμῖν ἁπλουστάτως καὶ αἰσθητικῶς μόνον οὐχὶ ἀποδέδεικται ὡς ἔστι θεός· οὐ γὰρ ἄν ποτε συσταίη τι μὴ ἀρχὴν ἔχον τινά, ἐξ ἧς οὐσιωθείη καὶ μετάσχῃ δυνάμεως.

6 Ἐπεὶ γοῦν ταῦτα καλῶς ἡμῖν εἴρηται, ἰτέον ἐπὶ τὴν ἀπορίαν καὶ διαλυτέον αὐτήν. κίνησιν μὲν κυρίως ἐν τοῖς θείοις οὔ φαμεν, ἀλλ' οὔτε στάσιν· τοῖς καθ' ἡμᾶς ἁρμόττει ταῦτα καὶ ὑπὸ αἴσθησιν. τῆς γὰρ κινήσεως ἑξαχῇ λεγομένης, κατὰ γένεσιν καὶ φθοράν, κατὰ αὔξησιν καὶ μείωσιν, κατά τε ἀλλοίωσιν καὶ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν, οὐδε μίαν ἐκ τούτων εὑρίσκομεν τῷ προαιωνίῳ ὄντι προσήκουσαν. πόρρω γὰρ γενέσεως τὰ θεῖα καὶ τῆς ἑπομένης ταύτῃ φθο ρᾶς, αὔξει τε οὐδαμῶς τὰ θεῖα, ἀλλ' οὐδὲ μείωσιν πάσχει, οὔτε μὴν ἀλλοιοῦται, ἀναλλοίωτα γὰρ ταῦτα πάντη, ἀλλ' οὐδὲ μεταβάλλει ἐκ τόπου εἰς τόπον, ὑπὲρ τόπον γὰρ ὡς καὶ ὑπὲρ χρόνον καθέστηκεν. ἀλλὰ τὴν μεταβατικὴν γνῶσιν, καθ' ἣν τὸ πρώτως ἐγνώκαμεν ὄν, κᾆτα δὴ τὰ ἐξ αὐτοῦ, ταύτην φαμὲν κίνησιν, καὶ τὴν εἰς τὸ πρόσω μὴ μετα βαίνουσαν εἰρήκαμεν στάσιν. μονάδα γοῦν φαντασθέντες τὸ πρῶτον, εἶτα δὴ οὐκ ἄγονον ἐννοήσαντες, εἰς δυάδα οἷον τῇ φαντασίᾳ ταυτηνὶ κεκινήκαμεν. ἐντεῦθεν προχωρήσαντες εἰς τριάδα ἔστημεν, τοῖς ὑπὲρ τούτων λογίοις ἑπόμενοι, μὴ περαιτέρω κινοῦντες ταῖς νοήσεσι τὰ ἀκίνητα. ἀκίνητον γὰρ μόνως τὸ θεῖον, πάντα δὲ ὑπ' αὐτοῦ κινεῖται· ἅπαν γὰρ κινούμενον ὑπὸ τοῦ ἐθέλειν κινεῖσθαι, καὶ τοῦτο εἰ κινοῦν κινεῖται, ὑφ' ἑτέρου πάλιν ἀνάγκη κινεῖσθαι, καὶ οὐκ ἂν σταίημεν ἀπειράκις ταῦτα ὑποτιθέμενοι, εἰ μὴ εἴς τι ἀκίνητον καταντήσαιμεν, ὃ κινοῦν οὐ κινούμενον. τοῦτο δὲ τὸ πρῶτον πέφυκεν ὄν, ἐπείπερ ἡ φύσις κινοῦσα τὰ σώματα ὑπό του ἄλλου κινεῖται· ψυχὴ γὰρ τὴν φύσιν κινεῖ καὶ ταύτην ὁ νοῦς, τοῦτον δὲ αἱ κρείττους δυνάμεις καθ' Ἕλληνας, ταύτας δὲ τὸ πρῶτον αἴτιον καὶ ἡ ἄρρητος ἐκείνη καὶ παντουργικὴ δύναμις.

7 Ἐπεὶ οὖν τὰ περὶ κινήσεώς τε καὶ στάσεως τῶν ἐπὶ τῆς θείας φύσεως λεγομένων καθ' ὅσον ἔδει διασεσαφήκαμεν, ἐπὶ τὴν ἑτέραν ἀπορίαν ἰτέον ἡμῖν τὴν λέγουσαν «ὡς ἔστιν ὅτε καὶ τὸ ἓν στασιάζον πολλὰ γίνεσθαι»· κἀντεῦθεν διὰ τῆς τοῦ ῥητοῦ λύσεως γνωστὸν ἡμῖν γένοιτο, πῶς ἡ μονὰς οὐ μέχρι δυάδος ἔστη, ἀλλ' οὐδὲ τριάδος περαιτέρω προσέβη. καὶ πρῶτον μὲν ἀπορητέον οὕτως. εἴπερ ἔστι τι κυρίως ἕν, μὴ ἔκ τινος ἢ ἔκ τινων εἰς ἑνοειδῆ τινα φαντασίαν συντεθὲν ἀλλ' ἐν τῷ ἑνὶ τὴν οὐσίαν ἔχον, πῶς μένον ἓν ὅπερ ἐστὶ στασιάσειε; καὶ μὴ μένον ἕν, εἰς δύο δὲ ἢ τρία ἠριθμημένον, πῶς ἂν ἀστασίαστον μένοι καὶ τὸ οἰκεῖον ἐς ἀεὶ διαφυλάξειεν εἶδος; ἡ γὰρ πρὸ τῆς τριάδας δυὰς αἰτία στάσεως. γρῖφος οὖν ὁ λόγος δοκεῖ καὶ αἰνιγματώδης, ὡς οἶμαι, εἴπερ τὸ μὲν εἰς δύο ἢ καὶ τρία ἠριθμημένον οὐ στασιάσει, τὸ δὲ ἓν κυρίως τυγχάνον ἓν προσδέξαιτο στάσιν, ὃ καὶ τὰ εἰς ἀριθμὸν πεσόντα δι' αὐτοῦ μετοχήν, ἔστ' ἂν αὐτοῦ μετέχῃ, ἀστασίαστα διατηρεῖ καὶ σώζει, ἐπὰν δὲ ἐκ σταίη ταῦτα τουτουὶ στασιάσαντα, τὴν φθορὰν πάσχει καὶ τὴν ἀπὸ τοῦ ἑνὸς ἐκτροπήν.

8 Ἔστι μὲν οὖν, ὡς τοῖς πᾶσι θεολόγις ἠκρίβωται καὶ καθὼς ἡμῖν προηγουμένως διασεσάφηται, τὸ πρῶτον ὄν. πᾶσι δὲ λέγω Χαλδαίοις, Αἰγυπτίοις, Ἰνδοῖς, αὐτοῖς Ἕλλησιν, ἁπαξαπλῶς τοῖς ὁπωσοῦν ἁψαμένοις θεολογίας καὶ βεβουλημένοις διαλεχθῆναι περὶ θεοῦ τοῦτο γοῦν τὸ ὂν καὶ δημιουργικὸν καθω μολόγηται αἴτιον. πάντα γοῦν ἐξ αὐτοῦ, τά τε ἄυλα εἴδη τά τε ἔνυλα. καὶ τὰ μὲν ἄυλα ἔγγιστά που τῆς αὐτῆς καθειστήκει φύσεως, εἰ καὶ κατὰ τὸν δημιουργικὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγον ὡς ὅτι γε πορρω τάτω, τὰ δὲ μετέχοντα ὕλης δοκεῖ πως τούτου διῳκίσθαι, τῆς ἁπλότητος ἐκστάντα τῆς εἰδητικῆς καὶ διαπεπλασμένα συνθέσει· ἐξ ὕλης γὰρ καὶ εἴδους ὑπέστησαν. εἰ γοῦν ἐκ τοῦ πρώτου ὄντος ἀρξάμενός τις ἐξετάζειν τὰς τῶν ὄντων φύσεις κάτεισι περὶ τὰ κάτω, ὡς εἰς ἕτερον ἁπλούστερον ὂν καταντήσει, τὴν ὕλην. ὕλην δὲ λέγω οὐ τὴν προσεχῶς ὑποκειμένην τοῖς εἴδεσιν–αὕτη γὰρ εἴδους μετέχουσα εἰδοπεποιημένη ὕλη ὠνόμασται–ἀλλὰ τὴν αὐτοΰλην ὡς ἄν τις εἴποι, ἣ καὶ ἀμυδράν τινα ἔμφασιν ἔσχεν ὀντότητος. τοῦ γὰρ πρώτου ὄντος αὐτοείδους τυγχάνοντος καὶ δημιουρ γικὴν τῶν εἰδῶν αὐχοῦντος δύναμιν, αὐτοΰλη ἂν κυρίως ὀνομασθείη τὸ ἐξ ἐναντίας αὐτῷ ὑποκείμενον, μάλιστα τυψ χάνον μὴ ὂν ἢ ὄν. ἀλλ' ἀποχαρίζεται καὶ ταύτῃ τὸ πρώ τως ὂν τῇ ὑπερβλύσει τῆς οὐσιοποιοῦ δυνάμεως καὶ μικράν τινα ὀντότητος ἔμφασιν. τὸ γὰρ αὐτὸ μάλιστα τῷ εἴδει ἁρμόζει· αὐτοτρίγωνον γάρ φαμεν καὶ αὐτοάνθρωπον, ὅταν ἐκτὸς τῆς ὕλης θεωρῶμεν αὐτά.

9 Ταύτην γοῦν τὴν ὕλην οἱ φυσικοὶ οὐσίαν ὑποτίθενται οὐχ ἥκιστα ἢ τὸ εἶδος, ὡς δεκτικὴν ἁπάντων εἰδῶν, καὶ παν δόχην αὐτὴν ὠνόμασαν διὰ τοῦτο καὶ μαινάδα πάλιν, ὡς ἀπο πτυστικὴν εἰδῶν καὶ ἑτέρων προσληπτικήν, καὶ ἕτερ' ἄττα τοιαῦτα. οὕτως δὲ ἐν τῷ μὴ ὄντι μᾶλλον χαρακτηριζομένη ἢ τῷ ὄντι εἰκόνας ἔχει καὶ ἀμυδρὰς ἐμφάσεις τοῦ πρώτου ὄντος, ἐξ οὗ πᾶσα οὐσία κατ' ἐνέργειαν οὖσα καὶ κατὰ δύναμιν. καὶ τοῦτο εἰκότως· τὰ γὰρ ἐκ διαμέτρου πρὸς ἄλληλα κείμενα ἰνδάλματά τινα προβάλλουσιν ὁμοιότητος. ἀκατάληπτον νοῒ τὸ πρῶτον καθέστηκεν ὄν, ἀκατάληπτον τὸ ἔσχατον. ἀλλά τι μὲν τῶν ἐκείνου, εἴ τί που καί ἐστι καταληπτόν, οἰκείῳ καταλαμβά νεται λογισμῷ· ὂν γάρ ἐστι. τοῦτο δὲ τὸ ἔσχατον νόθον κατὰ τὸν ἐκ Σταγείρας φιλόσοφον· μὴ ὂν γὰρ ἐξ ἀποφά σεως τὸ πρῶτον ὁρίζεται διὰ τὸ μηδέν τι τυγχάνειν τῶν ὄντων· δημιουργικὸν γὰρ αἴτιον καὶ κρεῖττον αὐτῶν. ἐξ ἀποφάσεως ὁρίζεται καὶ τὸ ἔσχατον διὰ τὸ μηδὲν τυγχάνειν τῶν ὄντων, ἀλλὰ καὶ χεῖρον αὐτῶν. ἁπλούστατον τὸ πρῶ τον, ἁπλούστατον καὶ τὸ ἔσχατον, εἰ καὶ τοῖς διαφόροις ποικίλλεται εἴδεσι. διὰ τοῦτο καί τινες τῶν παρ' Ἕλλησι θεολογησάντων συνάναρχον τὴν ὕλην τῷ δημιουργῷ ἐφαντάσ θησαν, κακῶς εἰδότες καὶ ἀναξίως τῆς προκειμένης αὐτοῦ ὑποθέσεως. τῆς γὰρ ὕλης καὶ τὸ μὴ ὂν μᾶλλον γινωσκο μένης ἡ ὀντοποιὸς καὶ παντουργὸς δύναμις καὶ τοῦ εἶναι ταύτην μετέχειν ποιεῖ καὶ ὑποκεῖσθαι τοῖς οὖσι καὶ γινο μένοις. ποσὸν γὰρ προσλαβοῦσα κατεσκεύασε μέγεθος, μετα λαβοῦσα δὲ καὶ ποιοῦ σῶμα φυσικὸν ἀπετέλεσε.

10 Ταύτην τὴν ὕλην ἁπλούστατον τελοῦσαν ὂν στασιάζειν πρὸς ἑαυτὴν λέγουσι διὰ τὸ φιλεῖν ἀπὸ εἴδους εἰς εἶδος μεταπηδᾶν καὶ οὐ μᾶλλον πρὸς τοῦτο ἢ πρὸς ἐκεῖνο φιλίως ἔχουσαν. ἀκίνητος δὲ πάντη ἐστὶ καὶ ἀνενέργητος ἐξ ἐναν τίας τῷ πρώτως ὄντι· ἐκείνου γὰρ μόνως ποιοῦντος αὕτη μόνως πάσχει, κἀκείνου μόνως κινοῦντος αὕτη μόνως κινεῖται. οὕτω γοῦν ταύτης ὑποκειμένης καὶ προσεχῶς τοῖς ποσοῖς καὶ ποιοῖς πασχούσης καὶ λαμβανούσης ὕπαρξιν, ἀκίνητα μὲν πάντη καὶ οὕτω τὰ ὑπὸ ταύτης τελεσιουργούμενα ἀναδείκνυται, ζωῆς δὲ τῆς ἐκεῖθεν καὶ πρώτης μοίρας ἐν αὐτῇ καταπτάσης προσεδέξατο κίνησιν εἴτουν αἴσθησιν καὶ τὴν κατὰ ταύτην ἐνέργειαν, καὶ ζῶον ᾠκονόμηται αἰσθανόμενον. προσεπιφοιτήσαντος δὲ ταύτῃ καὶ νοῦ, τὸ λογικὸν καὶ νοερὸν γεγένηται ζῶον, δι' οὗ καὶ τέχναι πεποίηνται, εἰκόνες τινὲς τῆς πρώτης οὐσίας καὶ δημιουργικῆς φύσεως. ἀνάγκη οὖν πᾶσα προηγουμένως μὲν καὶ κυρίως καὶ οὐ κατὰ μέθεξιν ἐν τῷ πρώτῳ ταῦτα τυγχάνειν ὄντι. ζωὴ γοῦν ἐκεῖσε καὶ νοῦς, ἵνα τῇ μὲν ζωῇ διαμένῃ τὸ ὂν ἀιδίως, τῷ δὲ νοῒ δημιουργῇ καὶ συνέχῃ τὰ ὄντα.

11 Συνῆκται γοῦν ἐκ τῶν εἰρημένων, ὡς τὸ πρώτως ὂν ἔνζων ὀφείλει εἶναι καὶ ἔννουν, ἐξ οὗ πᾶσα οὐσία καὶ ζωὴ καὶ νοῦς, τῇ μετοχῇ μᾶλλον ἢ τῷ εἴδει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀνομαζόμενα. ἐκεῖνο γάρ ἐστι τὸ αὐτοὸν ἢ αὐτοζωὴ καὶ αὐτονοῦς, τὸ δὲ παρὰ τοῦτο ἅπαν μᾶλλον μὴ ὂν ἢ ὄν, ἐπεὶ ἦν, ὅτε οὐκ ἦν τὸ ὂν τῇδε συνοχῇ τούτου, καὶ μένει ὂν καὶ ζῇ καὶ νοεῖ. τόσον γὰρ μετέσχε ζωῆς ὅσον ἐκεῖνο παρέσχε, καὶ τοσοῦτον νοεῖ ὅσον ἐκεῖνο μετέδωκε, ζωὴ δὲ καὶ νοῦς ἐν τῷ ὄντι οὐχ ὡς ἔν τινι καθεστήκασιν. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα τὸ πρώτως ὂν ζῶν καὶ νοοῦν τυγχάνον μένει καὶ ἀστασίαστον. πῶς γὰρ ἂν ἡ οὐσία πρὸς τὴν οἰκείαν ζωὴν στασιάσειεν ἣν προήγαγεν; ἢ πῶς αὕτη πρὸς ἐκείνην ἢ ὁ νοῦς πρὸς τὴν οἰκείαν οὐσίαν τε καὶ ζωὴν ἢ αὕτη πρὸς ταῦτα;

12 Ἐντεῦθεν ἓν ὂν ἁπλούστατόν τε καὶ ἡνωμένον τρία ἐστί, καὶ διὰ τοῦτο καὶ ἀστασίαστον, θαυμασίαν ἔχον τὴν ἕνωσιν καὶ θαυμασιωτέραν δὲ τὴν διαίρεσιν, ἢ ἄρρητον ταύτην καὶ ἀρρητοτέραν ἐκείνην. ἵνα δὲ καὶ ἐκ θειοτέρων γραφῶν τὰ λεγόμενα παραστήσωμεν, ὅτι ἔστιν ὁ ὤν, ὁ πατήρ, ἐξ οὗ ἡ ζωὴ καὶ ὁ νοῦς, μάρτυς ὁ φάσκων πρὸς τὸν Μωυσὴν ἐρωτῶντα, τί ἂν εἴη τούτου τὸ ὄνομα, «ἐγώ εἰμι ὁ ὢν» εἰρηκώς. ὁ δὲ υἱὸς ζωή, ἐκ τοῦ ὄντος ἐνυπόστατος προϊὼν καὶ εἰς αὐτὸν ἐπιστρέφων. καὶ μαρτυρεῖ ἐν εὐαγγελίοις λέγων· «ἐγώ εἰμι ἡ ζωή». τὸ δὲ πνεῦμα νοῦς, τὸ παρὰ τοῦ ὄντος καὶ αὐτὸ προϊὸν ὡς ἐκ πηγαίας οὐσίας καὶ διὰ τῆς ζωῆς οὐσιωδῶς ἐμφαινόμενον καὶ ἐπιμένον ἐν αὐτῇ καὶ διὰ ταύτης πρὸς τὸ ἐξ οὗ ἐπιστρέφον, ἵνα ταῦτα εἶεν καὶ ἓν καὶ τρία. τοῦτο νοῦν τοῦ παντὸς Ἕλληνες, ἀμυδράν τινα γνῶσιν ἐξ αὐτοῦ λαβόντες, ὠνόμασαν. τοῦτο γάρ ἐστι τὸ τὰ πάντα διακοσμοῦν καὶ τοῖς πᾶσιν ἐμπλατυνόμενον μετὰ τῆς δημιουργικῆς δυνάμεως, τῆς οὐσιοποιοῦ καὶ ζωοποιοῦ, λεπτομέρειά τις τυγχάνον τῆς ὅλης φύσεως, ὃ καὶ ὀσμὴν τῆς θεότητος ἔφη τις τῶν θεολογησάντων τὰ θεῖά τε καὶ ἡμέτερα.

13 Ἤδη μὲν εἰκόσι λόγοις ἀποδέδεικται ὡς τὸ πρῶτον ὂν ἀνάγκη τρία εἶναι ἓν ὄν καὶ ἀστασίαστον διὰ τὸ μηδὲν τῶν τοιούτων ἔν τινι στασιάζειν τῶν εἰρημένων, σωστικῶν ὄντων ἀλλήλων καὶ διαμονῆς αἰτίων καὶ τῆς δημιουργικῆς αἰτίας συμπαραιτίων, τῆς ὕλης μὴ ἐχούσης τοῦτο δὴ τὸ ἀστασίαστον, ἁπλουστάτης καὶ ταύτης τελούσης καθ' οὓς εἰρήκαμεν λόγους. στασιάζει δὲ αὕτη διὰ τὸ μὴ μετέχειν ζωῆς τε καὶ νοῦ, αὐτοΰλη οὖσα καὶ μακρὰν τῶν εἰδοποιούντων καθεστηκυῖα.

14 Οὕτω μὲν ἡμῖν τὸ τοῦ θεολόγου πατρὸς ἀπόρημα λέλυται, πῶς τε τὸ ἓν στασιάζειν πέφυκε καὶ πῶς μεμένηκεν ἀστασίαστον. ἀλλ' ἐντεῦθεν οἷόν τι καὶ πόρισμα ἡμῖν ἐκ τῶν λελεγμένων εὑρέθη, ὡς τοῦ ἀνθρώπου τῇ παραβάσει τῆς ἐντολῆς κατακριθέντος τὸν θάνατον μὴ ἂν ἄλλο ἐκ τῶν τριῶν πεφυκέναι τοῦτον λαβεῖν ἐπὶ τῷ σῶσαι καὶ εἰς τὸ πρῶτον ἐπαναγαγεῖν ἀξίωμα, εἰ μὴ τὴν πρώτην ζωὴν εἴτουν τὴν αὐτοζωήν. ἐπεὶ γὰρ οὐκ ἀφάντησιν τῆς οὐσίας αὐτοῦ κατακέκριται οὔτε μὴν τὴν παντελῆ φθορὰν τοῦ νοός, τῆς ἀθανασίας δὲ ὑπέστη τὴν ἔκπτωσιν, ἔδει τὴν πρώτην ζωὴν τὸν τεθνηκότα φορέσαι, εἴ πως μεταστοιχειώσει πρὸς τὸ ἀθάνατον. 15 Μήποτε δὲ ἄρα καὶ τὸ δαιμόνιον φῦλον ἐντεῦθεν φαίνεται, μὴ πεφυκὸς ἀναδέξασθαι τὴν πρὸς τὴν πρώτην τάξιν ἐπάνοδον. πῶς γὰρ ἄν, εἰ ἦν πρὸς φύσεως τοῦτο, οὐ διαπέπρακται τῷ ἀγαθῷ δημιουργῷ, εἰς ἄκρον προνοουμένῳ τῶν οἰκείων δημιουργημάτων, καὶ τῷ εὐσπλάγχνως κινουμένῳ περὶ τὸ ἑκάστου ἀγαθὸν καὶ τὴν τούτου τελείωσιν; ἀλλὰ δὴ καὶ ἐπὶ τούτοις οὔτε οὐσία διέφθαρται εἰς τὸ μὴ ὂν προσχωρῆσαι οὔτε μὴν ἡ ζωή. εἰσὶ γὰρ καὶ ζῶσι κἂν οὐκ εὐδαίμονα τὴν ζωήν, ὁ νοῦς δὲ αὐτοῖς ἀνατέτραπται καὶ διέφθαρται καὶ οἷον εἰς ἕτερόν τι εἶδος προυχώρησεν· οὐ γὰρ ἀλλοίωσιν πέπονθεν ἀλλ' ἑτέραν τινὰ εἰδοποίησιν· ἔδει γὰρ τὴν ἀπὸ τοῦ νοῦ θεραπείαν σφίσι γενέσθαι. τοῦ πρώτου δὲ ἦν τοῦτο νοῦ, νοῦν δὲ νοῦν προσλαβεῖν τε καὶ διορθώσασθαι ἀμήχανον ἦν· ἄλλως τε καὶ ἀμερὲς ἀμερεῖ πῶς ἂν συνδεδραμήκει εἰς ἕνωσιν; διὰ ταῦτα ὡς οἶμαι ἡ τῶν δαιμόνων φύσις ἀπρόσληπτος μεμενήκει τῷ πρώτῳ νῷ καὶ διὰ τοῦτο καὶ ἀδιόρθωτος. ἔστω σοι καὶ τοῦτο ὡς ἕτερόν τι πόρισμα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκ τῶν εἰρημένων ἀναφανέν. 16 Ἰδού σοι διασεσάφηται τὰ ἠπορημένα καθὼς ἦν ἡμῖν δυνατόν, τό τε «ἡ μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη» καὶ τὸ «ἔστιν ὅτε καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ γίνεσθαι». ἡ γὰρ ὕλη ὡς ἀπεδείξαμεν ἓν οὖσα καὶ πάντη ἁπλούστατον στασιάζει πρὸς ἑαυτὴν τοῖς μεταπτώσεσι τῶν εἰδῶν, τὸ δὲ τοιοῦτον ἓν ὁποῖον εἰρήκαμεν ἀστασίαστον πάντη μένει καὶ ἀδιάρρηκτον, ὑπερηρμένον πάσης ἑνώσεως καὶ διαιρέσεως. οὐ γάρ ἐστιν ἕν, ἀλλ' ὑπὲρ τὸ ἓν καὶ διὰ τοῦτο τρία, οὐδὲ διαιρέσει τινὶ ὑποπίπτει, ὑπὲρ διαίρεσιν γάρ, καὶ διὰ τοῦτο ἕν. ὑπὲρ γὰρ ἕνωσιν τούτου ἡ ἕνωσις καὶ ὑπὲρ διαίρεσιν ἡ διαίρεσις, ὃ καὶ κρειττόνως ἄν τις ὀνομάσειε τὸ ὑπερηνωμένον καὶ ὑπερδιῃρημένον. ἐξ αὐτῆς γὰρ πᾶσα ἕνωσις καὶ πᾶσα διαίρεσις, ὡς ἐκ μεθεκτῶν μετεχόμενα, ὡς ἐξ οὐσίας παραγόμενά τε καὶ οὐσιούμενα διὰ τὴν ἄπειρον τούτου φύσιν τὴν γόνιμον καὶ τὴν οὐσιοποιὸν δύναμιν, τήν τε ζωοποιὸν ἐνέργειαν καὶ τὴν νοοποιὸν τελειότητα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.